# Baquilides

Ἠίθεοι

στρ.α'

Κυανόπρῳρα μὲν ναῦς μενέκτυπον
Θησέα δὶς ἑπτά τ'ἀγλαοὺς ἄγουσα
κούρους Ἰαόνων
Κρητικὸν τάμνε πέλαγος·
τηλαυγέι γὰρ ἐν φάρεϊ
βορήιαι πίτνον αὖραι
κλυτᾶς ἕκατι πολεμαίγιδος Ἀθάνας·
κνίσεν τε Μίνωι κέαρ
ἱμεράμπυκος θεᾶς
Κύπριδος αἰνὰ δῶρα·
χεῖρα δ'οὐκέτι παρθενικᾶς
ἄτερθ'ἐράτυεν, θίγεν
δὲ λευκᾶν παρηίδων·
βόασέ τ' Ἐρίβοια χαλκο-
θώρακα Πανδίονος
ἔκγονον·ἴδεν δὲ Θησεύς,
μέλαν δ'ὑπ'ὀφρύων
δίνασεν ὄμμα, καρδίαν τέ Fοι
σχέτλιον ἄμυξεν ἄλγος,
εἶρέν τε·Διός υἱὲ φερτάτου,
ὅσιον οὐκέτι τεᾶν
ἔσω κυβερνᾷς φρενῶν
θυμόν·ἴσχε μεγαλοῦχον, ἥρως, βίαν.

ἀστρ.α'

ὅ τι μὲν ἐκ θεῶν μοῖρα παγκρατὴς

ἄμμι κατένευσε καὶ Δίκας ῥέπει τά-
λαντον, πεπρωμέναν
αἶσαν ἐκπλήσομεν, ὅταν
ἔλθῃ· σὺ δὲ βαρεῖαν κάτε-
χε μῆτιν. εἰ καί σε κεδνὰ
τέκεν λέχει Διὸς ὑπὸ κρόταφον Ἴδας
μιγεῖσα Φοίνικος ἐρα-
τώνυμος κόρα βροτῶν
φέρτατον, ἀλλὰ κἀμὲ
Πιτθέος θυγάτηρ ἀφνεοῦ
πλαθεῖσα ποντίῳ τέκεν
Ποσειδᾶνι, χρύσεόν
τέ ϝοι δόσαν ἰόπλοκοι
κάλυμμα Νηρηΐδες,
τῶ σε, πολέμαρχε Κνωσίων,
κέλομαι πολύστονον
ἐρύκεν ὕβριν· οὐ γὰρ ἂν θέλοι-
μ' ἀμβρότοι' ἐραννὸν Ἀοῦς
ἰδεῖν φάος, ἐπεί τιν' ἠιθέων
σὺ δαμάσειας ἀέκον-
τα· πρόσθε χειρῶν βίαν
δείξομεν· τὰ δ' ἐπιόντα δαίμων κρινεῖ.

ἐπ. α'

τόσ' εἶπεν ἀρέταιχμος ἥρως·
τάφον δὲ ναυβάται
φωτὸς ὑπεράφανον

θάρσος· Ἀλίου τε γαμβρῷ χολῶσατ' ἦτορ,
ὕφαινέ τε ποταινίαν
μῆτιν, εἶπέν τε· μεγαλοσθενὲς
Ζεῦ πάτερ, ἄκουσον· εἴπερ με κούρα
Φοίνισσα λευκώλενος σοὶ τέκε,
νῦν πρόπεμπ' ἀπ' οὐρανοῦ θοὰν
πυριέθειραν ἀστραπὰν
σᾶμ' ἀρίγνωτον· εἰ
  δὲ καὶ σὲ Τροιζηνία σεισίχθονι
  φύτευσεν Αἴθρα Ποσει-
  δᾶνι, τόνδε χρύσεον
χειρὸς ἀγλαὸν
  ἔνεγκε κόσμον ἐκ βαθείας ἁλός,
δικὼν θράσει σῶμα πατρὸς ἐς δόμους.
εἴσεαι δ' αἴ κ' ἐμᾶς κλύῃ
  Κρόνιος εὐχᾶς
ἀναξιβρόντας ὁ πάντων μεδέων.

στρ. β'

κλύε δ' ἄμετρον εὐχὰν μεγασθενὴς
Ζεύς, ὑπέροχόν τε Μίνωι φύτευσε
  τιμὰν φίλῳ θέλων
παιδὶ πανδερκέα θέμεν,
ἄστραψέ θ'· ὁ δὲ θυμάρμενον
  ἰδὼν τέρας πέτασε χεῖρας
  κλυτὰν ἐς αἰθέρα μενεπτόλεμος ἥρως,
εἶρέν τε· Θησεῦ, τάδε μὲν

ἔβλεπες σαφῆ Διὸς
δῶρα· σὺ δ' ὄρνυ' ἐς βα-
ρύβρομον πέλαγος· Κρονίδας
δέ τοι πατὴρ ἄναξ τελεῖ
Ποσειδὰν ὑπέρτατον
κλέος χθόνα κατ' ἠΰδενδρον.
ὣς εἶπε· τῷ δ' οὐ πάλιν
θυμὸς ἀνεκάμπτετ', ἀλλ' εὐ-
πάκτων ἐπ' ἰκρίων
σταθεὶς ὄρουσε, πόντιόν τέ νιν
δέξατο θελημὸν ἄλσος.
τάφεν δὲ Διὸς υἱὸς ἔνδοθεν
κέαρ, κέλευσέ τε κατ' οὖ-
ρον ἴσχεν εὐδαίδαλον
νᾶα· μοῖρα δ' ἑτέραν ἐπόρσυν' ὁδόν.

ἀστρ. β'

ἵετο δ' ὠκύπομπον δόρυ· σόει
νιν βορεὰς ἐξόπιθε πνέουσ' ἀήτα·
τρέσσαν δ' Ἀθαναίων
ἠιθέων γένος, ἐπεὶ
ἥρως θόρεν πόντονδε, κα-
τὰ λειρίων τ' ὀμμάτων δά-
κρυ χέον, βαρεῖαν ἐπιδέγμενοι ἀνάγκαν·
φέρον δὲ δελφῖνες ἐνα-
λιναιέται μέγαν θοῶς
Θησέα πατρὸς ἱππί-
ου δόμον, μέγαρόν τε θεῶν

μόλεν, τόθι κλυτὰς ἰδὼν
ἔδεισ᾽ ὀλβίοιο Νη-
ρέος κόρας· ἀπὸ γὰρ ἀγλα-
ῶν λάμπε γυίων σέλας
ὧτε πυρός, ἀμφὶ χαίταις
δὲ χρυσεόπλοκοι
δίνηντο ταινίαι· χορῷ δ᾽ ἔτερ-
πον κέαρ ὑγροῖσιν ἐν ποσίν·
σεμνάν τε πατρὸς ἄλοχον φίλαν
ἴδε βοῶπιν ἐρατοῖ-
σιν Ἀμφιτρίταν δόμοις·
ἅ νιν ἀμφέβαλεν ἀιόνα πορφυρέαν,

ἐπ. β'

κόμαισί τ᾽ ἐπέθηκεν οὔλαις
ἀμεμφέα πλόκον,
τόν ποτέ ϝοι ἐν γάμῳ
δῶκε δόλιος Ἀφροδίτα ῥόδοις ἐρεμνόν.
ἄπιστον ὅ τι δαίμονες
θέωσιν οὐδὲν φρενοάραις βροτοῖς·
νᾶα πάρα λεπτόπρυμνον φάνη· φεῦ,
οἵαισιν ἐν φροντίσι Κνώσιον
ἔσχασεν στραταγέταν, ἐπεὶ
μόλ᾽ ἀδίαντος ἐξ ἁλός
θαῦμα πάντεσσι, λάμ-
πε δ᾽ ἀμφὶ γυίοις θεῶν δῶρ᾽, ἀγλαό-
θρονοί τε κοῦραι σὺν εὐ-

θυμίᾳ νεοκτίτῳ
ὠλόλυξαν,ἔ-
κλαγεν δὲ πόντος·ἠίθεοι δ'ἐγγύθεν
νέοι παιάνιξαν ἐρατᾷ Ϝοπί.
Δάλιε,χοροῖσι Κηίων
φρένα ἰανθεὶς
ὄπαζε θεόπομπον ἐσθλῶν τύχαν.